ὡρισμένῳ τε τῷδε καὶ τεταγμένῳ
δέον φέρεσθαι κἂν ὑγείᾳ κἂν νόσῳ·
κἀντεῦθεν ἡ μὲν ἀντέρεισις ποικίλη,
τῇ δραστικῇ ξύμμετρος ἀεὶ τ' αἰτίᾳ· κ. 396
αἱ εἰσβολαὶ δὲ καὶ παροξυσμοὶ νόσων,
αὔξη τε κἀκμὴ καὶ παρακμὴ τῶνδ' ὅλως
κἀυτοὶ πεπασμοὶ καὶ κρίσεις λύσεις τ' ἔτι ις. 322
καιροῖς τε ῥητοῖς ἡμέραις θ' ὡρισμέναις ιε. 301
τελοῦντ', ἐάν τις μήτι τῶνδε συγχέῃ.
ὑφ' ὧν γε μικρὸν συγκεχυμένων ὅσον κβ. 466
τὸ δυσχερές τε ῥᾷον ἐκβρύει νόσων,
τροπή τ' ἐς ἄλλην, καὶ χρονισμὸς, πρὸς δ' ἔτι
καὶ τῶνδ' ὃ πολλόν ἐστι χείριστον, μόρος,
ἢν εἰς ἄκρον τις συγχέῃ τάδ' ἀθρόα,
κἄκιστ' ἀνατρέπῃ τε, καὶ ξὺν τοῖσδ' ἅπαν
κινήσεων σύστημα τοῦδ' ὅπερ φύσις,
τὰς τῆσδ' ἐνεργείας τε τὰς σωτηρίους.

KZ. Ὧδ' οὖν ἀνεῖλε δρῶν τόδ' αἴτιον φύσις ιε. 281
κινήσεων οἱ ἀθρόων οὖσα σθένος,
ἥπου τόδ' εὖ προὔμαξεν εὖ προὔπεψέ τε
σκήνους τ' ἀπεξέκρουσε ῥᾷον ἢ λόγος ις. 323
ἐμὸς δύναιτ' ἂν ἐμφάσει φράζειν τόδε·
ἡ παντελὴς ἔκκρουσις αὐτὴ δ' αἰτίου
ἀναίρεσίς τε τοῦδε τοῦ δραστηρίου, ις. 330

ἤδ'

(1) Γαλην. περὶ κρισ. ἡμερ. Β. β.